*λους, καὶ τὸν ἰσχύϊ κρείσσονα τοὺς ἄλλους ἀποδιώκειν, τὴν μὲν τῶν πτερύγων προβαλλόμενον ἅτε ἀσπίδα, τῇ δὲ τοὺς λοιποὺς ἀπελαύνοντα· οἱ δέ, ἣν κορεσθεὶς οὗτος ἀποχωρήσειε, κοινῇ ταῖς τροφαῖς ἐφορμῶσι, μέχρις ἄν τις αὐτῶν τοὺς ἀσθενεστέρους αὖθις ἀποδιώξῃ. ῥᾳδίως δὲ οὐδεὶς ἂν εὕροι γυπῶν καλιάς· γίνονται γὰρ ἐν τόποις, εἰς οὓς ἐλθεῖν ἐστιν ἀμηχανώτατον. τῇ δὲ τῶν τεθνηκότων ὑπερχαίροντες δυσοδμίᾳ, τοσοῦτον ἀπεχθάνονται πρὸς τὰ μύρα, ὥστε οὐδ᾽ ἂν κτήνους ἅψαιντο τεθνεῶτος, εἴ τις αὐτοῦ τὰς σάρκας ἐπαλείψειε μύρῳ.*

**6.** *Ἱεράκων δὲ γένη πλείω καὶ ταχεῖς μὲν ἄλλοι πρὸς θήραν, περιστεραῖς μάλιστα καὶ φάσσαις ὀλέθριοι· οἱ δὲ τὰς ὄρνεις τὰς ἐλάσσους αἱροῦσιν, ἕτεροι δὲ ἀργότατοι καὶ πρὸς τὰς πτήσεις ὀκνώδεις, ὥστε τρέφεσθαι παρ᾽ ἑτέρων ἐθέλειν καὶ ὀψὲ τοῦ καιροῦ πρὸς ἄγραν ὁρμᾶν καὶ βατράχοις ἐπιτίθεσθαι μόνοις. καὶ τοῖς ἀνθρώποις δ᾽ ἄλλοι κοινωνοῦσι τῆς θήρας, δεσμοῖς τ᾽ ἐχόμενοι καὶ τὰ θηρώμενα τῶν ὀρνέων φοβοῦντες· κορυδοῖς δ᾽ εἰσὶν οὗτοι καὶ χελιδόσι*